Universitätsbibliothek Paderborn

Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

XX. Constantinus propter Diocletiani & Galerii insidias ad patrem revertitur.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

A tibus longè illuſtrior quàm dotibus corporis fuit. Ac primùm quidem modeſtiâ animum exornavit: deinde humanioribus diſciplinis; & tum innata prudentia, tum ſapientia divinitus infuſa non mediocriter eum excoluit.

Caput XX.

Conſtantinus propter Diocletiani & Galerii inſidias ad patrem revertitur.

At Imperatores illius temporis, cùm adoleſcentem viderent generoſum ac fortem, magnumque & B excelſo animo præditum, invidia ſimul ac metu ob id torqueri cœpere. Itaque tempus opportunum captabant, ut malo atq; ignominia juvenem afficerent. Id juvenis cùm intellexiſſet (quippe inſidiæ ſemel atque iterum ei comparatæ, Dei nutu detectæ fuerant) fugâ ſalutem ſibi quæſivit; magnum illum Prophetam Moſem in hoc etiam imitatus. Porrò Deus in omnibus illum adjuvit; providentiâ ſuâ ſic cuncta diſponens, ut patri ad ſucceſſionem Imperii præſto eſſet.

C

Caput XXI.

Mors Conſtantii Conſtantinum filium Imperatorem relinquentis.

Cum ergo evitatis inſidiarum dolis, celeri curſu ad patrem profectus eſſet; ipſe quidem poſt longum temporis ſpatium in patris conſpectum venit. At Conſtantio ſub idem tempus ultimus vitæ dies imminebat. Qui cùm filiū inſperatò ſibi adeſſe cerneret, lecto exſiliens, ambabus ulnis eum amplexus D eſt: huncq; unum quo angebatur dolorem, ex abſentia ſcilicet filii conceptum, jam ex animo penitus excuſſum eſſe affirmans, gratias Deo maximas egit, poſthac mortem omni immortalitate potiorem ſibi eſſe teſtatus. Diſpoſitis deinde ex arbitrio rebus ſuis, & valedicto liberis ſuis utriuſque ſexus qui inſtar cujuſdam chori ipſum undique cingebant; in palatio & in regio cubili jacens, Imperii adminiſtratione, ut naturalis ratio poſtulat, filio natu maximo in manus traditâ, ex hac luce migravit.

A ψυχὴν ἀρεταῖς μᾶλλον, ἢ τοῖς κατὰ τὸ σῶμα πλεονεκτήμασιν ἐνηβρύνετο. σωφροσύνῃ πρώτιστα τὴν ψυχὴν κοσμούμενος. κἄπειτα παιδεύσει λόγων, φρονήσει τ' ἐμφύτῳ καὶ τῇ θεοδότῳ Σοφίᾳ διαφερόντως ἐκπρέπων.

ΚΕΦΑΛΑΙΟΝ Κ.

Κωνσταντίνου πρὸς τὸν πατέρα διὰ τὰς ἐπιβουλὰς Διοκλητιανοῦ ἀναχώρησις.

Γαῦρον δὴ οὖν ἐπὶ τούτοις, ῥωμαλέον τε καὶ μέγαν, φρονήματός τε μεστὸν τὸν B νεανίαν οἱ τηνικαῦτα κρατοῦντες θεώμενοι, φθόνῳ καὶ φόβῳ ἐβάλλοντο. ἐντεῦθεν καὶ προσψαῦσαί τι μώμου αὐτῷ βουλόμενοι ἐφυλάττοντο, καιρὸν εὔθετον ἀναμένοντες. ὁ δὴ συναισθόμενος ὁ νεανίας, ἐπεὶ καὶ πρῶτον αὐτῷ καὶ δεύτερον καταφωρᾳ Θεοῦ συννεύσει τὰ τῆς ἐπιβουλῆς ἐγίγνετο, φυγῇ τὴν σωτηρίαν ἐπορίζετο. κἀν τούτῳ τοῦ μεγάλου Προφήτου Μωσέως τὸ μίμημα διασώζων. τὸ δὲ πᾶν αὐτῷ συνέπραττεν ὁ Θεός, τῇ τοῦ πατρὸς διαδοχῇ προμηθούμενος αὐτὸν συνεῖναι.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ.

Τελευτὴ Κωνσταντίου τὸν υἱὸν Κωνσταντῖνον βασιλέα καταλιπόντος.

Αὐτίκα δ' οὖν ἐπειδὴ τῶν ἐπιβούλων τὰς μηχανὰς διαδρὰς, σπεύδων ἀφῖκτο πρὸς τὸν πατέρα. ὁμοῦ μὲν αὐτὸς χρόνιος παρῆν. κατὰ τὸ αὐτὸ δὲ τῷ πατρὶ τὰ τῆς τοῦ βίου τελευτῆς ἐπὶ ξυροῦ ἵστατο. ὡς δ' ἀπροσδοκήτως εἶδεν ὁ Κωνστάντιος παρεστῶτα τὸν παῖδα, D ἐξαλλόμενος τῆς στρωμνῆς, περιβαλὼν αὐτῷ τὼ χεῖρε, καὶ τὸ μόνον λυπηρὸν αὐτῷ μέλλοντι τὸν βίον ἀποτίθεσθαι, τοῦτο δ' ἦν τὴν παιδὸς ἀπουσίαν, τῆς ψυχῆς ἀποβεβληκέναι εἰπών, εὐχάριστον ἀνέπεμπε τῷ Θεῷ τὴν ψυχήν. νυνὶ αὐτῷ τὸν θάνατον ἀθανασίας κρείττονα λογίσασθαι φήσας. καὶ δὴ τὰ καθ' ἑαυτὸν διετάττετο. υἱοῖς θ' ἅμα καὶ θυγατράσι παραταξάμενος χοροῦ δίκην αὐτὸν κυκλοῦσιν, ἐν αὐτοῖς βασιλείοις ἐπὶ βασιλικῇ στρωμνῇ, τὸν κλῆρον τῆς βασιλείας, νόμῳ φύσεως, τῷ τὴν ἡλικίαν προάγοντι τῶν παίδων παραδοὺς ἀνεπαύσατο.